# ΚΡΑΤΥΛΟΣ

[ἢ περὶ ὀνομάτων ὀρθότητος, λογικός].

ΤΑ ΤΟΥ ΔΙΑΛΟΓΟΥ ΠΡΟΣΩΠΑ St. I
ΕΡΜΟΓΕΝΗΣ, ΚΡΑΤΥΛΟΣ, ΣΩΚΡΑΤΗΣ. p. 383

I. ΕΡΜ. *Βούλει οὖν καὶ Σωκράτει τῷδε ἀνακοινωσώμεθα τὸν λόγον;*

ΚΡ. *Εἴ σοι δοκεῖ.*

ΕΡΜ. *Κρατύλος φησὶν ὅδε, ὦ Σώκρατες, ὀνόματος
ὀρθότητα εἶναι ἑκάστῳ τῶν ὄντων φύσει πεφυκυῖαν,
καὶ οὐ τοῦτο εἶναι ὄνομα ὃ ἄν τινες ξυνθέμενοι καλεῖν
καλῶσι, τῆς αὑτῶν φωνῆς μόριον ἐπιφθεγγόμενοι,
ἀλλὰ ὀρθότητά τινα τῶν ὀνομάτων πεφυκέναι καὶ
Ἕλλησι καὶ | βαρβάροις τὴν αὐτὴν ἅπασιν. ἐρωτῶ οὖν* B
*αὐτὸν ἐγώ, εἰ αὐτῷ [πότερον] Κρατύλος τῇ ἀληθείᾳ
ὄνομα [ἐστὶν ἢ οὔ]· ὁ δὲ ὁμολογεῖ [αὐτῷ γε τοῦτο
ὄνομα εἶναι]. ‘τί δὲ Σωκράτει;’ ἔφην. ‘Σωκράτης,’
ἦ δ’ ὅς. ‘οὐκοῦν καὶ τοῖς ἄλλοις ἀνθρώποις πᾶσιν,
ὅπερ καλοῦμεν ὄνομα ἕκαστον, τοῦτό ἐστιν ἑκάστῳ
ὄνομα;’ ὁ δέ· ‘οὔκουν σοί γε,’ ἦ δ’ ὅς, ‘ὄνομα Ἑρμογένης, οὐδὲ ἂν πάντες καλῶσιν ἄνθρωποι.’ καὶ ἐμοῦ
ἐρωτῶντος καὶ προθυμουμένου εἰδέναι ὅτι ποτὲ λέγει,
| οὔτε ἀποσαφεῖ οὐδὲν εἰρωνεύεταί τε πρός με, προσ-* 384
*ποιούμενός τι αὐτὸς ἐν ἑαυτῷ διανοεῖσθαι ὡς εἰδὼς
περὶ αὐτοῦ, ὃ εἰ βούλοιτο σαφῶς εἰπεῖν, ποιήσειεν ἂν*

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416601200/5 UNIVERSITÄT LEIPZIG